Ἀδελφιδῆν ἄγροικος ὢν ἐξ ἄστεος.
Σεμνὴν. τρυφῶσαν. ἐγκεκοισυρωμένην.
Ταύτην ὅτ' ἐγάμουν, συγκατεκλινόμην ἐγὼ
Ὄζων τρυγός. τρασιᾶς. ἐρίων περιουσίας.
Ἡ δ' αὖ, μύρου. κρόκου. καταγλωττισμάτων.
Δαπάνης. λαφυγμοῦ. κωλιάδος. γενετυλλίδος.
Οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
Ἐγὼ δ' ἂν, αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ
Πρόφασιν, ἔφασκον. ὦ γύναι λίαν σπαθᾷς.
Θε. Ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
Στ. Οἴμοι τί γάρ μοι τὸν πότην ἧπτες λύχνον.
Δεῦρ' ἔλθ' ἵνα κλάῃς. Θε. διὰ τί δὴ κλαύσομαι.
Στ. Ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.
Μετὰ ταῦθ' ὅπως νῷν ἐγένεθ' υἱὸς, οὑτοσί,

A *Sorore neptem rusticus ego ex urbe scilicet:*
*Magnificam, sumtuosam, delicatulam.*
*Vbi hanc duxissem, vno accumbebam lectulo,*
*Ego quidem olens fecem, ficum, lanas, opes:*
*Illa autem vnguentum, crocum, obscœna basia,*
*Et sumtum, & crapulam, & Venerem, & genium suum.*
B *Non iam dicam, quod ociosa ipsa fuerit:*
*Quippe in texendo erat operæ suæ prodiga.*
*At ego illi palliolum hoc, prætextus nomine,*
*Commonstrans, dicebam, tu nimium texis hic.*
FA. *Here, oleum nobis in lucerna deficit.*
ST. *Ehem, cur tu igitur tam bibulum indideras lychnum?*
*Age, accede huc, ut eiules.* FA. *cur eiulem?*
ST. *Quia crassius oleo immisisti ellychnium.*
C *Post vbi mihique, & vxori meæ bona*

Σχ. Ἄγροικος ὢν ἐξ ἄστεος.] οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ, ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν, ἀλλὰ πρῶτον μὲν λεληθότως, διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ. οὐ γὰρ ἂν εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνὴ, καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. δόξαν γὰρ εἰώθασιν οἱ ἄνδρες ἔχειν οὐχ ἧττον τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο. φήσας αὐτὸν ἄγροικον εἶναι. τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδὲν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους τῇ ἐπὶ τῆς ἀγροικίας διαίτῃ, γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο. Σεμνήν.] οὐ τὴν σώφρονα. οὐ γὰρ ἐπαινεῖ αὐτὴν ἀλαζόνα καὶ ὑπέρογκον καὶ σοβαρὰν τῷ εἴδει. τρυφῶσαν δὲ ἱματίοις καὶ τῇ ἄλλῃ δαπάνῃ. Ἐγκεκοισυρωμένην.] περιττῶς κεκοσμημένην. ἢ ἔθνος ἡ Κοισυρόπολις ὀνομάζεται πάνυ αἰσχρὸν καὶ μιαρόν. ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν. ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν. Ὄζων τρυγός.] νέου οἴνου. ἢ τῆς ὑποστάθμης. τρασιὰ δὲ λέγεται ὁ τόπος ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται. ἢ σανίς. τρία δὲ εἶπε τὰ αὐτοῦ. τρυγός. τρασιᾶς. ἀντὶ τοῦ σύκων. καὶ ἐρίων περιουσίας. καὶ τὰ ἐκείνης δέ. ἐλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα. Ἐρίων περιουσίας.] ἀντὶ τοῦ πλούτου. τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. ἀπὸ δὲ τοῦ καθόλου, ἐπὶ τὰ κατὰ μέρος ἦλθε. καθόλου γὰρ ἐν τοῖς ἐπάνω εἰπὼν τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ, βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις, πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων, τὰ ἔρια. ἀπὸ δὲ τῶν στεμφύλων, τρὺξ καὶ οἶνος. ἀπὸ δὲ τρασιᾶς, τὰ σῦκα. Καταγλωττισμάτων.] αἰσχρῶν φιλημάτων περιεργότερον. ἢ εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ καταγλώττισμα, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ, τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. Λαφυγμοῦ.] τοῦ περὶ τὰ ἐδέσματα πολυτελείας. τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει, τὸ ἀπλήστως ἐσθίειν. Εὔπολις ἐν Κόλαξι. Λαρύαστε λαφυγμὸν ἀνδρεῖον πάνυ. Ὅμηρος ἔγκατα πάντα λαφύσσει. ἔστι γὰρ λάπτω καὶ λαφύσσω, τὸ ῥοφῶ, κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες τοιαῦτα πράττουσιν ὑπὸ τῆς ἄγαν τρυφῆς. Κωλιάδος.] οἱ μὲν κωλιάδα τὴν θεὸν καλοῦσι νεανίου Ἀττικοῦ ἀποδράντος ἀπὸ λῃστῶν, συμμαχίᾳ τῆς θεοῦ, καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τῶν κώλων ἀπελύθη ὑπὸ γυναικός. οἱ δὲ θυγατρὸς τοῦ ἀρχηγοῦ δι' ἔρωτα. οἱ δὲ, τόπον ἐοικότα κώλοις ἀνδρὸς ἔνθα ἡ θεὸς τιμᾶται. ἔνιοι δὲ Ἴωνος θύοντος, κόρακα ἁρπάσαι κωλῆν καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι, ὅθεν οὕτως ὠνομάσθη. ἄλλως. Κωλιὰς ναός ἐστιν Ἀφροδίτης οὕτω καλούμενος ἀπό τινος νεανίσκου Ἀττικοῦ ἁλόντος ὑπὸ τυράννων καὶ δεθέντος τὰ κῶλα. εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ τυράννου καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο Κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι.

BISETVS. Τυρρηνοὶ δὲ ὡς κακοῦργοι, καὶ λῃσταὶ διεβάλλοντο. οὗτοι νῦν Τοῦσκοι καλοῦνται. σημειῶσαι δὲ ἐν τοῖς παλαιοῖς σχολίοις κακῶς γεγράφθαι τυράννων, καὶ τυράννου, ἀντὶ τοῦ Τυρρηνῶν, καὶ Τυρρηνοῦ, ὅπερ ἐκ τοῦ Σουΐδα φανερὸν ἐν τῇ κωλιάδος φωνῇ.

Σχ. Γενετυλλίδος.] γενετυλλὶς ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη. Οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.] πρὸς τὸ ἀργὸς, ἐσπάθα. καὶ τοῦτο εἰρωνευόμενος περὶ γυναικὸς δὲ λέγει, ἀντὶ τοῦ κατηνάλισκε. κατήσθιε καὶ διὰ τοῦτο οὐκ ἀργὸς ἦν. Ἀττικοὶ δὲ ἐπὶ τῶν θηλυκῶν, ἀρσενικῶν ὀνομάτων κέχρηνται λέξεσιν ὡς ἐνταῦθα καὶ παρ' Ὁμήρῳ κλυτὸς Ἱπποδάμεια. καὶ Εὐριπίδῃ ἐν Ἑκάβῃ. τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελθεῖσά μοι γενναῖος. σπαθᾶν δὲ, τὸ ἀφειδῶς καταναλίσκειν. καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις. οἰκείως δὲ νῦν τῇ λέξει χρῆται ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων σπαθᾶν, τὸ ἄγαν κρούειν τὴν κρόκην. δυνάμεθα μὲν οὖν τὸ σπαθᾶν, ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τοῦ πολλοῦ παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου. ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ, καὶ πρόφασιν ἔφασκον, ὦ γύναι λίαν σπαθᾷς. τοῦτο δὲ ἐπίτηδες, διττὸν ὂν, τό τε ἀναλοῦν, καὶ τὸ ὑφαίνειν. Λίαν σπαθᾷς.] ἐργάζῃ. εἰρωνικῶς καὶ τοῦτο. δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παραρραγὲν ἔλεγε τοῦτο αὐτῇ. Πότην ἧπτες.] πότης Ἀττικῶς ὁ ταχέως ἀναλίσκων λύχνος.

BISET. Κλάῃς.] Σ. κλαίειν, θρηνεῖν. οἱ δὲ Ἀττικοὶ κλάειν. Εὐστάθιος. κλαίω, παρὰ τὸ κλῶ, ὡς ἐκ τοῦ ῥῶ, ῥαίω, ὁ μέλλων κλαύσω, τροπῇ τοῦ ι εἰς υ.

Σχ. Θρυαλλίδων.] ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. τὰ γὰρ παχέα ἐλλύχνια πολὺ ἔλαιον δαπανῶσι. Μετὰ ταῦθ' ὅπως.] μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ ἐπὶ τὸ διήγημα πάλιν ἀνατρέχει τοῦ γάμου. οὐ μὴν συναπτέον πάντα τὸν στίχον. ἀλλ' ἀναπαυστέον μέχρι τοῦ υἱός. εἶτα διαστήσαντα, χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν οὑτοσὶ, ὡς ἀχθόμενον αὐτοῦ τῇ γενέσει.